L. Bl. IV. 103.
4
4

# ΧΡΙΣΤΟΣ
# Ο ΤΕΚΤΩΝ

ἐκ τοῦ Μάρκου κεφαλ. ἕκτ.

ς. γ.

## ΣΥΝ ΤΩι ΘΕΩι ΤΡΙΣΑΓΙΩι

ἐν τῇ Παλαιγκώμησιν Ακαδημίᾳ

εἰκάδι Μουνυχιῶνος, ἔτ. ͵αψθ

συζητηθήσεται,

ΠΡΟΣΤΑΤΟΥ

ΑΝΔΡΟΣ ΑΙΔΕΣΙΜΩΤΑΤΟΥ ΚΑΙ ΕΞΟΧΩΤΑΤΟΥ
ΚΥΡΙΟΥ

## ΧΡΙΣΤΟΦΟΡΟΥ ΣΩΝΝΤΑΓΙΟΥ,

τῆς Θεολογίας τε καὶ Ἑλληνικῆς γλώττης Διδασκάλου,
καὶ Πρωτεκκλησιαστοῦ Εὐκλεεστάτου,
εἰς τὸ παρὸν

ΑΚΑΔΗΜΙΑΡΧΟΥ
ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΟΥ.

Καὶ ταῦτα μὲν δὴ ταύτῃ

γέγραφε

## ΓΕΩΡΓΙΟΣ ΣΤΕΦΑΝΟΣ ΣΤΙΕΒΗΡΟΣ,

τῆς Φιλοσοφίας Ἐπιστάτης,
ὁ φιλοθεολογῶν.

---

Τύποις τοῦ Ἰωδώκου Γυλιέλμου Κωλεσίου
τοῦ Ἀκαδημικοῦ μολυβδογράφου.

1709

Ad Bibl. Acad. Land.

Universitäts-Bibliothek München

## Προαύλιον.

Συζητοῦντες περὶ ΧΡΙΣΤΟΥ, τοῦ ΤΕΚΤΟΝΟΣ, ἐν τῷ νυνὶ διὰ βραχιόνων τὰ τῶν ἡμῶν διανοήματα ἀποδεικνύειν σπουδάσομεν. Διανέμομεν γὰρ τὴν ἡμῶν συζήτησιν εἰς τὰ τέτταρα μέρη ἢ κεφάλαια· Ὧν τὸ μὲν πρῶτον οὐ μόνον τὰ φιλολογήματα, ἀλλὰ καὶ τὰ τῶν Ἰουδαίων, τοιοῦτον τὸν λόγον περὶ τοῦ Χριστοῦ ἐκφερόντων, ἐνθυμήματα παρέξει· Τὸ δὲ δεύτερον, ἣν ἡμεῖς ἔχοντες τυγχάνομεν, δόξαν ἐπιφανεῖ· Τὸ δὲ τρίτον ἀνασκευαστικὸν ἔσται. Τὸ τέταρτον τέλος ἐπικριτικὸν τῆς συζητήσεως τῆς ἡμετέρας ἂν λεχθείη.

### α.

Ἐπιβάλλομαι οὖν, βοηθείᾳ τῇ θεόθεν ἐκθαρσήσας, τὸ ἔργον τοιοῦτο. Προπάροιθεν δὲ τὴν φωνὴν ΤΕΧΤΩΝ πεφανερῶσθαι δεῖ. Καλεῖται ὑπὸ τοῦ Τέκω, καὶ σύμφωνον φαίνεται τῷ Τεύχω. Ὁ Λέιγιος ὁ ἐξοχώτατος ἐν τῆς Κριτικῆς αὐτοῦ τῇ σελίδι φζβ. ἐπὶ τοῖς

Ερμηνευταῖς ἑλληνιστικοῖς θαῤῥήσας λέγει, ὅτι τοιαύτη φωνὴ ὑπὲρ τῆς ῥίζης ἑβραϊκῆς חרש κεῖται. Λαμβανέται δὲ ἡ φωνὴ (α) παχυλῶς, καὶ μηνύει πάντα τὰ τεύχοντα, (β) ἀκροθιγῶς, μόνους τοὺς περὶ ξυλίνων φιλοπονοῦντας σημαίνουσα. Κἀκείνην, πολὺ δὲ μεγίστην διαφορὰν ἐπετήρησεν ὁ Ξενοφῶν, ὁ ἐν παιδείᾳ τοῦ Κύρου λέγων, τοὺς μὲν σιδηρουργοὺς χαλκέας, τοὺς δὲ ξυλουργοῦντας τέκτονας. Διὰ τοῦτο ὁ Ιουστῖνος καὶ Βασίλειος, ὡς λέγει ὁ Λέιγιος ἐν τῇ βίβλῳ τῆς Κριτικῆς σελ. φξα. τὸ τέκτων ἡμέτερον συνιᾶσι περὶ τῶν ξυλουργούντων.

β.

Οἱ τοίνυν τοῦθ' οὕτως ἔχει, οἱ μέντοιγε σημασίας τῆς διπλῆς χάριν, ἣν σημαίνοι ἂν ΤΕΚΤΩΝ τὸ ἡμέτερον, αἵρεσιν τῆς πρώτης ἐπὶ τῷ ποιεῖν διατρίβουσιν. Ἀντὶ πολλῶν ἂν τούτου σφάλλεται (καθάπερ ἀναφαίνει ὁ Ζηγῆρος ἐν τοῖς Κριτικῶν βιβλίοις ἐπὶ τοῦ Ματθ. κεφαλ. ιγ. στιχ. γε. σελ. υδ. ἀριθμ. ξ.) ὁ Ιλάριος, ὃν σημασίαν ἡμῶν οὐχ ἑλεῖν, καὶ ἅμα θαρσαλέως διαφυλάττειν θέλειν, ἅπασι δοκεῖ, ὅτι δήπου ὁ Ιωσὴφ ἦν σιδηρουργός. Γνώμην δὲ ταύτην αὐξάνειν πέφυκεν ὁ Βήδας (τοῦ αὐτοῦ μαρτυροῦντος Ζηγήρου) τὰ ῥήματα τὰ ἀκολουθοῦντα ἐκφωνῶν· Ο Πατὴρ τοῦ χριστοῦ ὁ ἐπουράνιος τῷ πυρί τε καὶ ἅμα τῷ πνεύματι ἐργάζεται. Καὶ τῇ γνώμῃ αὐτῇ ὡς συμψηφιζόμενος δέδοκται ἡμῖν ὁ Ζηγῆρος, εἰ τοῦτον τὸν λόγον ὑπόθεσιν· Οὐδέποτε ὑπολαμβάνοιμεν ἄν, ὅτι τὴν ψῆφον ἐκείνην βλάπτειν δύναται, ὥσπερ τοῦ χριστοῦ ἀνάξιον καὶ τὴν θεοῦ μεγαλειότητα ἀφαιρῶν. Ο γὰρ

χριστος

χεισὸς ἡμῶν ἕνεκα πολλὰ τὰ ἀποβλητότερα πέπονθεν. Ἐμοὶ τὸ κρῆγυον τὸ πρόθεμα ἐποίησεν. Καίπερ ἐντεῦθεν ὐδὲν διαβεβαιῶμαι, ἀλλ' ὅμως, ἃ εὑρίσκειν ἐξῆν, ἐνταῦθα ἀληθῶς ἐπισημαίνω.

γ.

Ἔπρεπε γὰρ ἐν τῷ νῦν εἰς τὸ μέσον παράγειν λογισμὲς, γνώμης τῆς αὐτῆς ἀπόδειξιν ἔχοντας. Ἀλλ' ὅτι μάλιστα ὑποκάτω αὐτῶν ἀκμὴν φιλοσοφεῖν ἐπιχειρήσομεν, διὰ τῦτο ἐνθάδε πρὸς τὰ ἐκεῖνα σιωπῶντες ὑπάρξομεν. Προσόισομεν γὰρ τὴν φωνὴν ΟΥΧ, ἔχυσαν, καθὼς λέγει ὁ Ἔρασμος ὁ Σχμίδιος ἐν σελ. ρξγ. τὴν ἔμφασιν ἐρωτηματικὴν, καὶ ἅμα ἀρνητικήν. Πρώτην ἀναλαμβάνοιμεν ἂν ἐπισημασίαν κεφαλικὴν, ἣ καὶ τῷ Δρυσίῳ ἐν ταῖς τῶν Κριτικῶν βίβλοις σελ. αϛ. στιχ. γ. ἀριθ. ο. τῷ Ἐράσμῳ τῷ Σχμιδίῳ, τῷ Βήδᾳ, τῷ Βεν. Αρίᾳ Μοντάνῳ κτλ. ἀρέσκει. Καὶ τῦτο ἀντὶ πάντων φανερὸν γίνεται, ὐ μόνον ἐκ τῦ προσεστῶτος, ὁ ΤΕΧΤΩΝ, ἀλλὰ καὶ ἐκ τῦ ἐρωτήματος, ἴδιον καὶ ἐμφατικόν τι σημαίνοντος. Ἴδε τῦ Γλασσίυ Γραμ. σελ. σπζ.

δ.

Ὅτι δὲ οἱ Ἰυδαῖοι ὐκ εἰκότως τὸν χρισὸν ἔπλυναν λοιδορίαις, φαίνοιτο ἂν τελεώς. Πρῶτον ἐμφανίζεται ἐκ τῶν λόγων ἀσεβῶν, ὅταν δηλαδὴ περὶ τῦ χρισῦ, βέλτιστα τὰ ῥήματα λαλῦντος, λέγωσι, πόθεν τύτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτῦ γίνονται; ὐχ ὗτός ἐστιν ὁ Τέκτων, ὁ



υἱὸς

υἱὸς Μαρίας, Ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; Ἐν οἷς λόγοις καθάπερ σαφεστάτως ἐπιδείξειεν ὁ Μυνστῆρος ἐν Κελ. ταῖς βίβλοις ἐπὶ τῷ τόπῳ ἡμετέρῳ, τὴν μὲν Μαρίαν, τοῦ Χριστοῦ Μητέρα, ὡς πόρνην· τὸν δὲ Χριστὸν ὡς νόθον, βλασφημοῦσι· Δευτέρως παρεκφαίνεται τοιοῦτο ἐκ τῶν Ἰουδαίων κακουργίας. Ὑπάρχουσι γὰρ τὸν Ἰησοῦν ἐκβάλλοντες ἔξω τῆς πόλεως, καὶ ἄγοντες αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους κτλ. εἰς τὸ κατακρημνίσαι αὐτόν. Οὗτος γὰρ ἦν παρὰ τοῖς Ἑβραίοις δύσφημος τρόπος, καθ' ὃν ἀπέκτειναν οὐ μόνον τοὺς ἀποστασίαν διδάσκοντας, ἀλλὰ καὶ τοὺς Μάγους καὶ τοὺς σάββατον ἀφιέντας, οὓς ἐξάγοντες ἐκ τῆς πόλεως ἕως ὀφρύος ἢ καρήνου, ἐξ οὗ ἐν ταῖς χερσὶν εἰργμένοι ὑπὸ τῶν μαρτυρούντων ἑκατέρου κατεβλήθησαν, οὕτως, ὥστε ἐπὶ τοὺς ὀσφύας πεσεῖν· Εἰ πρὸς τοῦτον τὸν τρόπον βίον οὐ κατέλυσαν, ἑκάτερος ὁ μάρτυρ ἐπέβαλεν ἐπὶ καρδιοφύλακι λίθον, ὃν δύο ἄνδρε φέροιεν· εἰ οὕτως οὐκ ἀπέθανον, τότε πάντες αὐτὸν ἐλιθοβόλησαν· Ἴδε τοῦ Θωμᾶ Γοδβίνου Μωσέα καὶ Ἀαρῶνα σελ. υκθ. παρ. α. Τρίτως ἔυδηλον γένοιτο ἂν ἐκ τῆς παρὰ τοῖς Ἰουδαίοις εἰθισμένης παροιμίας, ἣν ὁ Χριστὸς ἐξέφρασεν· Οὐδεὶς Προφήτης δεκτός ἐστιν ἐν τῇ Πατρίδι αὐτοῦ.

ε.

Αἴτιον γὰρ τῶν ἐγκλημάτων, οἷς Ἰουδαῖοι κατεγλώττισαν τοῦ Χριστοῦ, τυγχάνει ὂν διττόν· Τὸ μέν ἐστι κατὰ συμβεβηκός· Τοῦ Χριστοῦ δηλαδὴ διδασκαλία καὶ αἱ αὐτοῦ δυνάμεις· Ἐπειδὴ γὰρ ὁ Χριστὸς

εἰς τὴν πόλιν Ναζαρὲθ εἰσῆλθεν, ἐφοίτα εἰς τὴν Συναγωγὴν, καὶ ἀφορισμόν τινα ἐκ τοῦ Ησαΐου, οὗ τὸ πλεῖστον τῆς προφητείας ἐστὶ τὰ εὐαγγέλια περὶ τῆς ἐνσάρκου παρουσίας τοῦ Λόγου, τοῦ Χριστοῦ, καὶ ὧν ἀνεδέξατο δι' ἡμᾶς παθῶν, ὡς Αθανάσιος λαλεῖ, συνιστάντος τοιοῦτο τοῦ Βαυμβαχίου ἐν τῇ μεταχειρίσει περὶ γλώττης τῆς ἑβραϊκῆς, χαλδαϊκῆς καὶ Συριακῆς, κεφαλ. δ. ἐδήλωσε. Τῶνδε γὰρ προθύμως μὲν, ἀλλ' ὅμως καὶ ἡδέως, καθὼς Ηρώδης ἀκήκοε τῶν τοῦ Ιωάννου ῥημάτων, ἤκουον· Ακούοντες δὲ ταῦτα ἐπλήσθησαν πάντες θυμοῦ, καὶ τὸν Χριστὸν ὑβρίζοντες ἔτυχον, ὡς ἐν παραγράφῳ δ ἐβλέψαμεν· Τὸ δὲ ἄλλο ἐστὶ τῶν Ιουδαίων σκληροκαρδία. Τοιαύτης ἕνεκα καὶ τῶν ῥημάτων τοῦ Χριστοῦ οὔτε ἀκούειν, οὔτε εἰς τὸν Χριστὸν πιστεύειν, οὔτε διὰ τῶν τοῦ Σωτῆρος λόγων σώζεσθαι, ἠδύναντο.

ς.

Εξετάσεως οὖν περὶ τοιούτων ἀκριβῶς ποιηθείσης, προσήκει, γνώμην τὴν ἡμετέραν ἤδη συντόμως εἰπεῖν. Νομίζομεν γὰρ, ὅτι ὁ Σωτὴρ ἡμῶν ἐν παιδείᾳ αὐτοῦ ὑπῆρξε Τέκτων ἢ ξυλοκόπος. Τοῦτο δὲ διχῶς βεβαιοῦν μέλλομεν· Πρώτως μὲν καθόλου, τοῖς λογισμοῖς δηλαδὴ τρισίν· Εξ ὧν πρῶτός ἐστιν, ὅτι τοῖς Εβραίοις ἀρχαῖον καὶ πάτριον ἦν, πάντας, οὐ μόνον τοὺς διδακτοὺς, ἀλλὰ καὶ τοὺς ἀδιδάκτους μανθάνειν δεήσειν τὰ χειρουργήματα, ὡς ὁ Παῦλος ὑπῆρξε σκηνοποιός. Ιδὲ πραξ. Αποσ. κεφαλ. ιη. στιχ. γ. Δεύτερός ἐστιν, ὅτι Πνεῦμα τὸ ἅγιον μαρτυρίαν ἐμβάλλεται περὶ τοῦ Χριστοῦ,

σοφίας πληρουμένου Λουκ. κεφ. β. στίχ. μ. Τρίτως τυγχάνοιμεν ἂν παντελῶς εἰδότες, τὸν Ἰωσὴφ, τοῦ Σωτῆρος ἡμῶν ἐπιμελητὴν, ὑπάρξαι ξυλοκόπον. Ἐκεῖνο, ὅτι περὶ τοῦ αὐτοῦ ἀμφιγνοοῦσί τινες, διόπερ ἐκ τῆς ἱστορίας ἐκκλησιαστικῆς, βραχέως μέντοιγεν ἀποδεικτέον ἡμῖν δοκεῖ.

ζ.

Τὸν δὲ Ἰωσὴφ, ὄντα ξυλοκόπον, ῥαδίως ἐπέδειξεν ἡμῖν ὁ Βαρώνιος ἐν τῷ χρονικῶν τόμῳ α. σελ. ζα. ἐν ᾧ περὶ τούτου μάρτυρα ἀξιόπιστον ἐπάγει τὸν Ἐπιφάνιον ἐν ταῖς αἱρέσ. σελ. οη. Οἱ πάντες ἱστορίζοντες ἐκ μιᾶς ὁμολογοῦσι. Καὶ ὁ Λουκᾶς, ὑπὸ Πνεύματος ἁγίου φερόμενος, σπουδὴν ἔχει (καθὼς ὁ αὐτὸς Βαρώνιος φράζει σελ. ζ) ζωγραφεῖν πᾶσαν τοῦ χριστοῦ θεραπείαν, λέγων ἐν κεφ. β. στίχ. να· Καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Ἐὰν οὖν ὁ χριστὸς ἦ ὑποτασσόμενος τῷ Πατρὶ καὶ τῇ Μητρὶ αὐτοῦ, τουτέστιν, ἐὰν ὁ Σωτὴρ ἡμῶν πάσας τὰς πράξεις αὐτοῦ ὑποτάσσῃ ταῖς ἐντολαῖς Πατρός τε καὶ Μητρὸς, οὕτως, ἵνα αὐταὶ ἐντολαὶ ἐπιστατῶσι τῶν χριστοῦ ἔργων (ἴδε τὴν ἔμφασιν τῆς ἐκείνης φωνῆς ἐν Λειγίου Κριτικῇ σελ. χυη.) τότε ἀκολούθησις τοιαύτη καλῶς τεύχεται, ὅτι δηλαδὴ ὁ χριστὸς ὢν ὑπῆρξε ξυλοκόπος. Ὑποτίθημι καὶ τοὺς ἰδίους λογισμοὺς, ὧν ἐποίησα τρεῖς. Πρῶτός ἐστι δήπου, ὅτι, καθάπερ τὰ πάντα ἐν τῷ Ἀδὰμ τῷ πρώτῳ κατάρατά ἐστιν, οὕτω διὰ τοῦ Ἀδὰμ δευτέρου πάντα δεῖ εὐλογεῖσθαι, καὶ, ὡς διὰ τῆς καλῆς ἀκολουθήσεως εἰπεῖν, ὁ πόνος ἂν εὐλογητὸς εἴη. Διόπερ πάντες φιλοπονοῦντες παρηγοροῦνται ἀπὸ τοῦ τέκτονος χριστοῦ. Περὶ τοῦ αὐτοῦ

ἀληθὲς

ὑπάρχει, ὃ ἐκφράζει ὁ Λαμέχ· Ουτός ἐςι παρηγορῶν ἡμᾶς ἐν κόπῳ καὶ πόνῳ τῷ ἡμετέρῳ, ὃς ὁ Κύριος καληράσατο, Γεν. κεφ. ε. καθάπερ ὁ Λυθῆρος ἐν ὑπομνήμασιν ἐις Γεν. καὶ Σελνεκκῆρος ἐν ὑπομνημ. ἐις Γεν. σελ. σπθ. ἐκεῖνα τὰ ῥήματα ἁρμόζυσι πρὸς τὸν Χριςόν. Δέυτερός ἐςιν, ὅτι, ὡς ὁ Χριςὸς ὐκ ἦλθε καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι αὐτὸν Ματθ. ε. ςιχ. ιζ. Ουτως ἐν τῷ ΞΥΛΟΠΟΝΕΙΝ αὐτῦ πρώτην καὶ τετάρτην καὶ ἅμα ἑβδόμην τὴν ἐντολὴν ἁγιάζειν ἤθελεν. Εδίδαξε γὰρ, ὐ μελλήσεσθαι, ὥςε τὺς ἀνθρώπυς ὑπάρξειν ματαιοπονῦντας, ἐὰν ἐπὶ βοηθεία θεόθεν θαῤῥήσωσιν. Εδίδαξεν ἀποτέρω πάντα τὰ τέκνα, ὥςε ὑποτάσσειν τοῖς γονεῦσιν. Εδίδαξε μέντοίγε τὺς ἀνθρώπυς, ἵνα ἀφέξωνται κλοπίας, καὶ ὦσιν ἀποχειροβίωτοι. Υςερον, ἐὰν ὁ Χριςὸς ἡμῶν χάριν πολλὰ ἀποβλητότερα (ὡς ἤδη ἐλαλήσαμεν) ὑπομένῃ, δηλαδὴ, γενηθεὶς ὑπὲρ ἡμῶν κατάρα Γαλ. γ. ςιχ. ιγ. διὰ τίνα αἰτίαν ὖν ἡμῶν ἕνεκα τεῦξαι ἐπηχύνθη; Εν τῷ μεταξὺ δὲ ὐκ ἀρνύμεθα, τὺς Ιυδαίυς ἐν τοῖς λόγοις ἐκέινοις ἐπὶ τὸν Χριςὸν βλασφημῆσαι.

η.

Λαμβάνωμεν ἂν δὲ τὴν φωνὴν τέυχειν παχυλῶς, ἢ ἐν τύτῳ τρόπῳ, ἐν ᾧ ἡγίασε πάντας τὺς πόνυς, καὶ μὴ ὑπὲρ διαθέσεως πάσης τῶν πάνων, ὕτω γὰρ ἐδέησε τὸν Χριςὸν εἶναι ἀκεςὴν ὑποδηματοῤῥάφον κτλ. ἃ ἄτοπά ἐςιν. Ε'ιτις δὲ θέλει ποιεῖν ἀκολύθησιν τοιάυτην. Εὰν ὁ Χριςὸς διὰ τῦ ΤΕΥΧΕΙΝ πόνυς ἡμῶν ἁγιάσῃ, ἐδέησεν αὐτὸν τέυχειν πάντας τῶν ἡμῶν πόνυς, αὐτῷ ἀποκρινόμεθα ἐξ τὴν ἔνςασιν.

λέγοντες· Εἰ ὁ Χριστὸς ἐν τῇ ἐνανθρωπήσει πάντας τοὺς ἀνθρώπους ἐλυτρώσατο, ἀναγκαῖον ἦν, τὸ αὐτὸ γεγενῆσθαι οὐ μόνον παιδάριον, ἀλλὰ καὶ κοράσιον, γυναῖκα, ὃ ἄλογόν ἐστι. Λέγεις, οὐδένα τύπον παρεῖναι περὶ Χριστοῦ τοῦ τέκτονος. Ἀποκρίνομαι, ὅτι πάρεστι. Πάρεστι γὰρ ὁ Νῶε ὁ τοῦ κιβωτοῦ τέκτων. Πάρεστι Βεζαλεὲλ τεκταίνων τῆς διαθήκης κιβωτὸν, ἐξ ὧν τινες καλῶς συλλογίζονται, ὅτι ὁ Χριστὸς διὰ τοῦ τεκταίνειν ἐσήμανεν, ἑαυτὸν μέλλειν οἰκοδομεῖν καὶ σώζειν ἐκκλησίαν. Ἴδε τοῦ Ζαχαρίου κεφ. ἕκτ. Μετὰ ταῦτα τοῖς νοσοῦσιν ἐν ταῖς ἀντιλογίαις ὑπὲρ τοῦ γήρως τοῦ Ἰωσὴφ, δι' οὗ πονεῖν οὐκ ἴσχυσεν, ἀποκρινόμεθα τοῖς λόγοις τοῦ Βαρωνίου, οἳ ἡμῖν λίαν ἀρέσκουσι. Λέγει γὰρ πρὸς τὸ αὐτὸ εἶναι, ἃ λέλεκται Δευτερ. λβ. Τὸ γῆράς σου ἔσται καθὼς νεότης σου. Πνεῦμα δὲ μέν τοίγε ἅγιον ἀξιοπιστότατον ὁμολογοῦμεν, εἰ τὸν Χριστὸν ΥΠΟΤΑΣΣΟΜΕΝΟΝ φανερωτάτως δείκνυσιν.

θ.

Ἐν μέρει τῷ ἀνασκευαστικῷ χρόνον οὐ διατρίβοντές τυγχάνοιμεν ἂν, ὅτι ἐν τῷ δευτέρῳ κεφαλαίῳ ἢ μέρει διασαφήσεως κρείττονος χάριν ἀνασκευαστικά τινα τὰ ῥήματα κεῖται. Πρὸς νομίζοντας, τὸν Χριστὸν περὶ τοιούτων τῶν οὐτιδανῶν (καθὼς λέγουσιν) οὐκ ἐπιμεμεληκέναι, ἀντείπομεν μετὰ ταῦτα, ἃ ἀφ' ἡμῶν ἐλαλήθη, καὶ ἀκολουθοῦντα, ὅτι δήπου, τὸν Σωτῆρα ἡμῶν ταῖς μελέταις μὲν προσλεληφέναι τὰς ἐπισήμας ἐν παιδείᾳ αὐτοῦ, διαβεβαιοῦντες ὁμολογοῦμεν, τὸ δὲ αὐτοῦ σῶμα πόνοις, ὥστε ἐκείνους ἁγιάζειν, γεγυμνακέναι. Λογισμός ἐστιν, ὅτι τριάκοντα ἔχων ἔτη τῇ διακονίᾳ ἐνεχείρησε. Τοῖς

δὲ,

δὲ, τ̃ Χριςὸν ὑπάρξαι χρυσοποιὸν, διϊσχυρίζειν πειρωμένοις ἐκ Μαλαχ. κεφ. γ. ςιχ. γ. ὅπου γέγραπται, τ̃ αὐτ̃ καθαρίζειν τοὺς ὑιοὺς τ̃ λευΐ, בזהב, καθὼς τ̃ χρυσὸν, ἀποκρινόμεθα, ὅτι ἀκολούθησις οὐ καλή ἐςιν. Ενςασις ἔςω. Ο᾽ Δαβὶδ λέγεται εἶναι καθὼς σοφία Αγγέλου τ̃ Θεοῦ, διόπερ ἄγγελός ἐςιν. Πῶς δὲ νοητέον τὰ ῥήματα τ̃ προφήτου, ἴδε Ερρίκου τ̃ Μολλήρου, Διδασκάλου ἐν Βιττεβέργῃ ὑπομνημ. εἰς Μαλ. σελ. πς. Αἱ φλυαρίαι τ̃ Παππαίων ἀνάξιοί εἰσιν, ὥςε ἡμᾶς πρὸς ἐκείνας, ὡς οὐ μόνον ἀγράφους, ἀλλὰ καὶ ἀντιγράφους καὶ ἅμα ἀσεβεῖς, ἀπόκρισιν ποιεῖν.

ι.

Συντομώτατως ἐπίκρισιν ἡμετέραν ἐν τῷ νυνὶ δεικνύειν μέλλομεν. Πρώτην τ̃ γνώμην τρέφοντας τῷ Ενθουσιασμῷ συμφωνεῖν φαίνοιτο ἂν, ὅτι δημιουργήματα φαυλίζουσι, καὶ γραφὴν τ̃ ἁγίαν, Χριςὸν ὑποτασσόμενον λέγουσαν, ἐγκαταλείπουσι. Δευτέραν ἔχοντας δόξαν σὺν Ιουδαίοις τ̃ Χριςὸν ὑβρίζειν, ὅτι μόνον ὑπῆρξε ΤΕΚΤΩΝ, ἔοικε. Τοῖς δὲ ἀσεβέσι τ̃ Ρωμαίων συμβουλεύομεν, ὥςε τοὺς λήρους, οἳ ψεύδονται, καὶ ὧν χάριν ἅμα ἐξαιρέτως τ̃ Χριςὸν λοιδοροῦντες τυγχάνωσιν ἂν, καὶ διόπερ ἡμῖν οὐδενὸς τρόπου ἀπαλλάττεσθαι δύνανται, ἀφ᾽ ἑαυτῶν ἀπελαύνειν. Νῦν τελευτῶ τ̃ συζήτησιν ἡμῶν μετὰ τῶν ῥημάτων, οἷς ὁ Ιάκωβος ὁ Πρῶτος τῆς Αγγλίας, Σκοτίας, Φραγκίας τε καὶ Ιβερνίας Βασιλεὺς ἐν βιβλ. α. Βασιλικοῦ Δώρου σελ. μβ. Ερρικον ὑιὸν πρῶτον αὐτοῦ οὕτω προσηγόρευσεν. Α᾽ ἐν γραφῇ ἁγίᾳ ἀτέκμαρτά ἐςιν, ἐκεῖνα ταπεινῶς θαύμαζε. Μηδὲ τὰ αὐτὰ,

ἀλλὰ

ἀλλὰ τὴν ἀσθένειάν σου ἐπικάλει. Τὰ εὔκολα ἡδέως προσλάμβανε. Τὰ δύσκολα μετὰ σπουδῆς μάνθανε. Τὰς γλώττας ἁγίας ἀκριβῶς γίνωσκε. Γράμματα γὰρ τὰ ἅγια ἀφ' ἑαυτῶν ἑρμηνεύεται, καὶ οὐκ ἔστιν ἰδίας τῆς ἐπιλύσεως.

---

Ἐπιδόσεις ὑπέρμετροι ἀντὶ τῶν Ἑλλήνων.

α.

Τὸ τὴν εὐχαριστίαν τοῖς παιδαρίοις καὶ βρέφεσι παρέχειν, ἀθέμιτον, καὶ διαταγῆς τῆς Ἀποστολικῆς ἀλλότριον.

β.

Ἄρτον ἱερὸν τὸν εὐχαριστικὸν τῷ ἀπαρθένῳ πρὸ τῆς κοινωνίας ἁγιάζειν, εἰδωλολατρικὸν καὶ βέβηλον.

γ.

Ἀπαναίνεσθαι τὴν ἐκπόρευσιν τοῦ Πνεύματος ἁγίου ἀπὸ τοῦ Υἱοῦ, τί ἐστιν ἄλλο, πλὴν τοῦ ἀπαναίνεσθαι, ὅτι ὁ Παράκλητος πάντα, ὅσα Πατὴρ ἔχει, τοιγαροῦν καὶ οὐσίαν ἀφ' Υἱοῦ λαμβάνει;

δ.

Ἀφορισμὸς τῶν Ἑλλήνων τυμπανιτικὸς μυριοτεχνία τοῦ Σατανᾶ ἐστιν.

ε.

Τῶν αὐτῶν ᾄδης μεταβλητικὸς ἐξαγορεύει τὴν ἀνεπιστασίαν, ἣν περὶ γραμμάτων τῶν ἁγίων ῥιψοκινδύνως ἔχουσιν.

ϛ.

Ἐπίμετρον τὴν διατριβὴν διαβεβαιοῦν.

Καθὼς Ἀπόστολος ὁ Παῦλος προσφωνεῖν τῇ ἑβραΐδι διαλέκτῳ Πράξ. κα. στίχ. μ. ἐξουσίαν ἔσχηκεν· οὕτως ἔξεστι καὶ ἐν τῇ σήμερον τὰ ἑλληνιστικὰ λαλεῖν, περὶ οὗ οὐκ ἀμφισβητοῦμεν.